*καθίστασθαι· καὶ τοῖς μὲν συμπαίζειν αὐτὸς λέγων 'ἀσκός, πέλεκυς'· τὰ δὲ ἐπὶ τῆς γαστρὸς ἐᾶν καθεύδειν ἅμα θλιβόμενος.* *I (E)*

## *ΠΕΡΙΕΡΓΙΑΣ*

*Ἀμέλει ⟨ἡ⟩ περιεργία δόξει εἶναι προσποίησίς τις λόγων καὶ πράξεων μετὰ εὐνοίας, ὁ δὲ περίεργος τοιοῦτός τις, ⟨οἷος⟩ ἐπαγγέλλεσθαι [ἀναστάς], ἃ μὴ δυνήσεται. καὶ ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι ἀντασστὰς ἐλεγχθῆναι. καὶ πλείω δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράδαι, ἢ ὅσα δύνανται οἱ παρόντες ἐκπιεῖν. καὶ διείργειν τοὺς μαχομένους, καὶ οὓς οὐ γινώσκει. καὶ ἀτραποῦ ἡγήσασθαι, εἶτα μὴ δύνασθαι εὑρεῖν, οὗ πορεύεται. καὶ τὸν στρατηγὸν προσελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι, καὶ τί μετὰ τὴν αὔριον παραγγελεῖ. καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ. καὶ ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσει οἶνον τῷ μαλακιζομένῳ, διδόναι φήσας βούλεσθαι διάπειραν λαμβάνειν εὐτρεπίσαι τὸν κακῶς ἔχοντα. καὶ γυναικὸς δὲ τελευτησάσης ἐπιγράψαι ἐπὶ τὸ μνῆμα τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ αὐτῆς ⟨τῆς⟩ γυναικὸς τοὔνομα καὶ ποδαπή ἐστι, καὶ προσεπιγράψαι, ὅτι οὗτοι πάντες χρηστοὶ ἦσαν· καὶ ὀμνύναι μέλλων εἰπεῖν πρὸς τοὺς περιεστηκότας, ὅτι 'καὶ πρότερον πολλάκις ὀμώμοκα'.* *IA (IΓ)*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416470955/21 UNIVERSITÄT LEIPZIG